χῆς μου· καὶ ἔλθοι τὸ πρόσταγμα τὸ φοβερὸν καὶ σκεπάσῃ με, πρὸ τοῦ ἐλθεῖν τὸ πρόσταγμα τὸ φοβερὸν, καὶ λάβῃ με ἀνέτοιμον καὶ ἠχυμμένον. Ἀλλὰ μᾶλλον ἡ χάρις σου παράσχῃ μοι χρόνον μικρὸν μετανοίας ἀληθινῆς. Οὐ δύναται ἡ χάρις σου, πολυεύσπλαγχνε, ὑπεριδεῖν ἁμαρτωλὸν δακρύοντα, πάσῃ ψυχῇ προσελθούσῃ καὶ αἰτούσῃ συγχώρησιν διδοῦσα ἁμαρτιῶν ὧν ἔπραξεν. Εἰσήκουσεν ὁ Ἅγιος καὶ Ἀγαθὸς τῆς φωνῆς μου καὶ τοῦ κλαυθμοῦ τῶν δακρύων μου, καὶ ἠλέησέ με. Καὶ νῦν ἴδε, μακρόθυμε, ὡς ἀγαθὸς, ἵνα κἀγὼ ποιήσω καρπὸν μετανοίας. Διὰ τοῦτο ἱκετεύω σε χαρισθῆναί μοι χρόνον μετανοίας. Ὑπομιμνήσκει πάντοτε ὁ Σωτὴρ καὶ ἕλκει με πάντοτε εἰς τὴν ζωὴν ἵνα σωθῶ. Ὅταν μνησθῶ τῆς ἡμέρας καὶ τῆς ὥρας ἐκείνης, ἐν ᾗ γέγονεν ὁ φόβος οὗτος αἰφνίδιος, δειλιῶ καὶ δακρύω ἐν στεναγμοῖς. Πάλιν εὐθὺς λανθάνω πάντα ὁμοῦ, τὴν δέησιν, τὰ δάκρυα, τὸν φόβον, καὶ τὸν χρόνον τῆς μετανοίας τὸν δοθέντα μοι χάριτι Θεοῦ. Διατί ἄρα συμβαίνει μοι ταῦτα, σκληρότης καὶ ἀμέλεια, καὶ λησμοσύνη; καὶ γίνομαι αἰφνιδίως ἀναίσχυντος καὶ ἄφοβος, μετέωρος καὶ ὀργίλος, μὴ ἔχων ὁλοσχερῶς πρὸ ὀφθαλμῶν μήτε φόβον, μήτε κρίσιν τὴν μέλλουσαν. Μὴ ἄδικος ὁ Θεὸς, ἢ βούλεται ὑπεξελθεῖν τοῖς ἔργοις μου; Μὴ γένοιτο. Πάντας ὑμᾶς παρακαλῶ, φιλόθεοί μου φίλοι, πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἐλαχίστου πρὸς τὸν οἰκτίρμονα καὶ φιλάνθρωπον Θεόν. Τούτου χάριν ἀνήγγειλα τὸ συμβάν μοι, ὅπως ἂν ἐπιτύχω τοῦ ἐλέους τοῦ Θεοῦ. Ἐπίσταμαι ὅτι ἐὰν βουληθῆτε, δυνήσεσθε συνελθεῖν ἁμαρτωλῷ ἐν πρεσβείαις καὶ ἱκεσίαις πρὸς τὸν Θεόν. Οἶδα ἐγὼ τῶν πολλῶν τὴν δέησιν δυναμένην καὶ Ἀποστόλους ῥύσασθαι ἐκ φυλακῆς καὶ δεσμῶν καὶ θανάτου. πόσῳ μᾶλλον ἁμαρτωλὸν καὶ ἀσεβῆ δυνήσασθε ῥύσασθαι ἐκ θανάτου; Συνέλθετε οἱ φοβούμενοι τὸν Κύριον, ἐκχέατε τὴν δέησιν ὑμῶν ὑπὲρ ἐμοῦ, ἵνα λάμψῃ ἡ θεία χάρις ἐν τῇ ψυχῇ μου, καὶ φωτίσῃ σκοτισθεῖσαν διάνοιαν, καὶ γένωμαι εὐχῶν ὑμῶν συνεργίᾳ εὐπρόθυμος, καὶ ἄξιος μετανοίας. Καὶ πᾶσά μου ἡ πικρότης γλυκανθῇ γινομένης τῆς χάριτος ἐν τῇ ψυχῇ μου. Χάριτος γὰρ παρουσία φέρει γλυκάσματα, ἡσυχίαν καὶ κατάνυξιν. Καὶ ἡδύνονται ἐν τῇ καρδίᾳ τὰ κύματα τῆς χάριτος καὶ τοῦ φωτισμοῦ τοῦ ἁγίου Πνεύματος, καὶ λανθάνει ἄφνω ψυχὴν τὰ γήϊνα καὶ τὰ πάθη τὰ σαρκικὰ καὶ βλαβερά. Καὶ λοιπὸν θάλπουσι τὰ κύματα τῆς χάριτος τὴν ἔννοιαν καὶ τὴν ψυχήν. Ἐοίκασι τὰ κύματα τῆς χάριτος ἐν τῇ ψυχῇ παραδείσῳ βασιλικῷ πλήρει ὄντι καρ-

A Et veniat terribile præceptum, & me protegat, antequam formidabilis jussio adveniat, meque imparatum & confusum deprehendat; sed potius gratia tua concedat mihi exiguum tempus veræ pœnitentiæ. Nequit, clementissime, gratia tua peccatorem despicere lacrymantem. Ignoscit omni animæ, quæ supplex ad te recurrit, & peccatorum quæ patravit, veniam ei donat. Exaudivit sanctus & benignus vocem meam,
B & ploratum lacrymarum mearum, & misertus est mei. Et nunc respice, ut longanimis & misericors, ut ego quoque fructum pœnitentiæ referam. Quamobrem supplico, ut pœnitentiæ spatium mihi largiaris. Suggerit mihi semper salutis viam Salvator, & nunquam non me ad vitam trahit, ut salvus fiam. Quoties in mentem mihi venit illa dies & hora, in qua me repente timor hic invasit, totus
C horreo, lacrymor, ac ingemisco. Iterum mox omnium simul obliviscor, precum, lacrymarum, timoris, & spatii pœnitentiæ mihi divina gratia concessi. Sed unde mihi ista duritia, negligentia, & oblivio? Unde ita subito fio impudens, timoris expers, distractus, & iracundus, adeo ut plane nec timor Dei, nec judicium futurum mihi versetur ob oculos? Numquid injustus est Deus, aut vult dissimulare o-
D pera mea? absit. Omnes vos rogo, obtestorque, Dei amantes amici mei, ut pro me homine peccatore & minimo apud Deum misericordem & benignissimum intercedere velitis. Quæ mihi acciderunt, ideo patefeci vobis, ut misericordiam a Deo obtineam. Neque dubito, quin si volueritis, mihi peccatori vestris apud Deum orationibus & supplicationibus succurrere possitis. Novi ego multorum deprecationes etiam Apostolos e
E carcere,& vinculis,& morte liberare valuisse. Act. 12.
Quanto magis vos me peccatorem & impium a morte liberare potestis? Succurrite ergo qui timetis Dominum, preces vestras pro me fundite, ut divina gratia in anima mea resplendeat, mentemque tenebris circumfusam illuminet, promtusque ac dignus efficiar precum vestrarum adjutorio, qui pœnitentiam agam: & adveniente in animam meam eadem divina gratia, dulce-
F scat omnis amaritudo mea. Gratiæ enim præsentia dulcedinem, tranquillitatem, & compunctionem affert. Gratiæ fluctus, jubarque sancti Spiritus exhilarant cor, faciuntque, ut anima repente rerum terrenarum, cupiditatumque carnalium ac noxiarum obliviscatur. Gratiæ fluctus mentem & animam fovent. Gratiæ fluctus similes sunt in anima horto regio pulchris fructibus